# ΟΔΥΣΣΕΙΑΣ α.

## *ΘΕΩΝ ΑΓΟΡΑ.*

## *ΑΘΗΝΑΣ ΠΑΡΑΙΝΕΣΙΣ ΠΡΟΣ ΤΗΛΕΜΑΧΟΝ.*

*Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ*
*πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν·*
*πολλῶν δ᾽ ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,*
*πολλὰ δ᾽ ὅ γ᾽ ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν,*
*ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.*
*ἀλλ᾽ οὐδ᾽ ὣς ἑτάρους ἐρρύσατο ἱέμενός περ·*
*αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,*
*νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο*
*ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.*
*τῶν ἁμόθεν γε, θεὰ θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν.*
*ἔνθ᾽ ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,*
*οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·*
*τὸν δ᾽ οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς*
*νύμφη πότνι᾽ ἔρυκε Καλυψώ, δῖα θεάων,*
*ἐν σπέεσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.*
*ἀλλ᾽ ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,*
*τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι*
*εἰς Ἰθάκην, οὐδ᾽ ἔνθα πεφυγμένος ἦεν ἀέθλων*
*καὶ μετὰ οἷσι φίλοισι. θεοὶ δ᾽ ἐλέαιρον ἅπαντες*
*νόσφι Ποσειδάωνος· ὁ δ᾽ ἀσπερχὲς μενέαινεν*

# ΟΔΥΣΣΕΙΑΣ α.

## *ΘΕΩΝ ΑΓΟΡΑ.*

## *ΑΘΗΝΑΣ ΠΑΡΑΙΝΕΣΙΣ ΠΡΟΣ ΤΗΛΕΜΑΧΟΝ.*

*Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ*
*πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν·*
*πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,*
*πολλὰ δ' ὅ γ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν,*
*ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.*
*ἀλλ' οὐδ' ὣς ἑτάρους ἐρρύσατο, ἱέμενός περ·*
*αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,*
*νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο*
*ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.*
*τῶν ἁμόθεν γε, θεὰ θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν.*
*ἔνθ' ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,*
*οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·*
*τὸν δ' οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς*
*νύμφη πότνι' ἔρυκε Καλυψώ, δῖα θεάων,*
*ἐν σπέεσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.*
*ἀλλ' ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,*
*τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι*
*εἰς Ἰθάκην, οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων*
*καὶ μετὰ οἷσι φίλοισι. θεοὶ δ' ἐλέαιρον ἅπαντες*
*νόσφι Ποσειδάωνος· ὁ δ' ἀσπερχὲς μενέαινεν*